# [Artemidori Daldiani Onirocriticon - suite]

**Auteur : Foucault, Michel**

## Présentation de la fiche

Coteb028_f0729
SourceBoite_028-10-chem | Artémidore.
LangueFrançais
TypeFicheLecture
RelationNumérisation d'un manuscrit original consultable à la BnF, département des Manuscrits, cote NAF 28730

## Références éditoriales

Éditeuréquipe FFL (projet ANR *Fiches de lecture de Michel Foucault*) ; projet EMAN (Thalim, CNRS-ENS-Sorbonne nouvelle).
Droits

- Image : Avec l'autorisation des ayants droit de Michel Foucault. Tous droits réservés pour la réutilisation des images.
- Notice : équipe FFL ; projet EMAN (Thalim, CNRS-ENS-Sorbonne nouvelle). Licence Creative Commons Attribution – Partage à l'Identique 3.0 (CC BY-SA 3.0 FR).

Notice créée par équipe FFL Notice créée le 22/03/2021 Dernière modification le 23/04/2021

---

728

B



αὐτὸν τὸν ὄνειρον ἀκριβῶς ἐξεταστέον, ὡς ἔστιν. ὅτι ⟨γὰρ⟩ μικρᾷ προσθέσει ἢ ἀφαιρέσει ἀλλοιοῦται τὸ ἀποτέλεσμα, ὁ ἐπιὼν [ὁ] λόγος δηλώσει· ὡς εἰ μή τις τούτων ἔχοιτο, πταίων ἂν ἑαυτὸν μᾶλλον ἢ ἡμᾶς μέμφοιτο.

Ἑξῆς ὑποθησόμεθα πῶς δεῖ κρίνειν τοὺς ὀνείρους. ἕξει 10
δὲ τάξιν ἡ πραγματεία τοιαύτην. οὐχ ὥσπερ οἱ παλαιοὶ ἀπὸ θεῶν ἀρξόμεθα, κἂν ἀσεβεῖν τινὶ δοκῶμεν, ἀλλὰ πρὸς τὸ ἀναγκαῖον τῆς ἀκολουθίας ἀποβλέποντες ἀρξόμεθα πρῶτον ἀπὸ τοῦ γεννᾶσθαι, ἔπειτα * * ἀνατρέφεσθαι, ἑξῆς περὶ σώματος καὶ τῶν ἐν τῷ σώματι μερῶν προσγινομένων τε καὶ ἀπογινομένων καὶ αὐξανομένων καὶ μειουμένων καὶ ἀλλοιουμένων εἰς μορφὴν ἑτέραν ἢ εἰς ὕλην, εἶτα περὶ διδασκαλίας τεχνῶν παντοδαπῶν καὶ ἔργων καὶ ἐπιτηδευμάτων, εἶτα περὶ ἐφηβίας, περὶ γυμνασίων [κατ᾽ εἶδος], περὶ ἀγώνων, περὶ βαλανείου καὶ λουτροῦ παντοδαποῦ, περὶ τροφῆς πάσης ὑγρᾶς τε καὶ ξηρᾶς, περὶ μύρων καὶ στεφάνων, περὶ [ἀφροδισίων] συνουσίας, περὶ ὕπνου. ταῦτα μὲν περιέξει ἡ πρώτη βίβλος· ἡ p.16
δὲ δευτέρα * * περὶ ἐγρηγόρσεως ἀσπασμάτων κόσμου παντὸς ἀνδρείου καὶ γυναικείου ἀέρος καὶ τῶν περὶ ἀέρα, περὶ κυνηγεσίας περὶ ἁλιείας περὶ πλοῦ περὶ γεωργίας, περὶ δίκης, ἀρχῆς δημοσίας καὶ λειτουργίας, στρατείας, θεῶν τιμῆς καὶ περὶ θεῶν, περὶ θανάτου, καὶ εἴ τι ἄλλο προϊὼν ὁ λόγος ὑπομνήσει.

1 ἀκριβῶς] ὡσαύτως L | ὡς ἔστιν om. L || 3 ὡς ἐπιὼν L | ἔχοιτο πταίων] ἔχοι τὸ πταίων πλέον εἰκότως L || 5 ἐπαγγελία (ἀπαγγελία L) τῶν ἐν ταῖς βίβλοις γραφομένων LV | ὑποτιθέμεθα L || 6 παλαιοὶ] πολλοὶ L || 7 ἀρξώμεθα LV || 9 lac. sign. Her. | ἀναστρέφεσθαι L || 10 τῷ om. V | προσγινομένων — αὐξανομένων V (ita L[1], sed om. καὶ alterum] ἐπιγινομένων τε αὐξανομένων τε καὶ ἀπογινομένων αὐξανομένων L || 12 καὶ μειουμένων καὶ ἀλλοιουμένων om. V | καὶ εἰς L | [εἰς] Mein. || 13 ὕλην] λύσιν L, corr. L[1] || 15 βαλανείων V | καὶ περὶ λουτροῦ L || 16 καὶ περὶ L || 17 ξηρᾶς τε καὶ ὑγρᾶς V | καὶ περὶ L | [ἀφροδισίων] Her. recte, sed cf. Plat. symp. 192 C || 18 περιέξει] περιέχει V, ἕξει L || 19 lac. sign. Her. || 20 καὶ ἀέρος L || 21 κυνηγίας V, κυνηγίου Her., cf. 117, 4 | ἁλιείας Reis.: ἁλίας LV | περὶ γεωργίας om. L || 22 καὶ om. V || 23 τιμῆς θεῶν L | θεῶν περὶ] θεῶν καὶ L

BnF MSS



Fichier issu d'une page EMAN : http://eman-archives.org/Foucault-fiches/items/show/18573?context=pdf

Fichier issu d'une page EMAN : http://eman-archives.org/Foucault-fiches/items/show/18573?context=pdf